


# Χαιρετισμοί εις τον Κύριο Ιησού Χριστό

Ποίημα Αγίου Νικοδήμου του Αγιορείτου

Τῷ Ὑπερμάχῳ Στρατηγῷ τοῦ Ἅδου Νικητῇ,
Ὡς λυτρωθεῖς ἐξ αἰωνίου θανάτου,
Ἀναγράφω Σοὶ ὁ δοῦλος σου τὰ νικητήρια.
Ἀλλ’ ὡς ἔχων εὐσπλαχνίαν ἀνερμήνευτον,
Ἐκ παντοίων μὲ κινδύνων ἐλευθέρωσον,
Ἵνα κράζω Σοί,
Ἰησοῦ Υἱὲ Θεοῦ, ἐλέησον μέ.

Ἀγγέλων ποιητὰ καὶ Κύριε τῶν Δυνάμεων, ἄνοιξον τὸν ἄπορόν μου νοῦν καὶ τὴν γλῶτταν πρὸς ὕμνον τοῦ Παναχράντου Σου ὀνόματος, καθάπερ ἤνοιξας πάλαι τὴν ἀκοὴν καὶ γλῶτταν τοῦ κωφοῦ καὶ μογιλάλου, τοῦ κραυγάζειν πρὸς Σὲ τοιαυτα.

Ἰησοῦ πανθαύμαστε, τῶν Ἀγγέλων ἡ ῎Εκπληξις.
Ἰησοῦ παντοδύναμε, Προπατόρων ἡ Λύτρωσις.
Ἰησοῦ γλυκύτατε, Πατριαρχῶν τὸ Καύχημα.
Ἰησοῦ ὑπερένδοξε, Βασιλέων Κραταίωμα.
Ἰησοῦ παμπόθητε, Προφητῶν ἡ Ἐκπλήρωσις.
Ἰησοῦ ὑπερύμνητε, Στερέωμα τῶν Μαρτύρων.
Ἰησοῦ ἱλαρώτατε, μοναζόντων Τερπνότης.
Ἰησοῦ παντελεῆμον, Πρεσβυτέρων Γλυκύτης.
Ἰησοῦ ὑπερεύσπλαχνε, νηστευόντων Ἐγκράτεια.
Ἰησοῦ πανοικτίρμον, Χαρὰ τῶν δικαίων.
Ἰησοῦ ὑπέραγνε, Σωφροσύνη τῶν Παρθένων.
Ἰησοῦ προαιώνιε, Σωτηρία πταιόντων.
Ἰησοῦ Υἱὲ Θεοῦ, ἐλέησον μέ.

Βλέπων Κύριε τὴν χήραν θρηνούσαν σφόδρα, εὐσπλαχνίσθης, καὶ ἀνέστησας τὸν υἱὸν αὐτῆς ἐπὶ τὸν τάφον φερόμενον. Σπλαχνίσθητι καμοὺ Φιλάνθρωπε, καὶ τὴν

ἁμαρτίαις θανοῦσαν ψυχή μου ἀνάστησον, τοῦ βοῶντος σοὶ .
Ἀλληλούϊα.

Γνώσιν ἄγνωστον γνῶναι ζητῶν ὁ Φίλιππος ἔλεγε . δεῖξον ἡμὶν Κύριε τὸν Πατέρα. Σῦ δὲ εἶπας πρὸς αὐτόν. Τοσούτον χρόνον μετ ἐμοῦ ὢν, οὐκ ἔγνωκας, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοὶ ἔστι; Διὸ ἀνεξιχνίαστε, φόβω κραυγάζω Σοὶ.

Ἰησοῦ Θεὲ προαιώνιε.
Ἰησοῦ Βασιλεῦ παντοδύναμε.
Ἰησοῦ Δέσποτα μακρόθυμε.
Ἰησοῦ Σωτὴρ πολυέλεε.
Ἰησοῦ Φύλαξ μου ὑπεράγαθε.
Ἰησοῦ τὰς ἁμαρτίας μου πάριδε.
Ἰησοῦ τὰς ἀνομίας μου ἄνελε.
Ἰησοῦ τὴν ἐμην φαυλότητα ἐξάλειψον.
Ἰησοῦ ἡ ἐμὴ Ἐλπὶς μὴ ἐάσης μέ.
Ἰησοῦ ἡ ἐμὴ Βοήθεια, μὴ ἀπορρίψης μέ.
Ἰησοῦ Ποιητά μου, μὴ ἀπώση μέ.
Ἰησοῦ ὁ Ποιμὴν ὁ Καλός, μὴ ἀπολέσεις μέ.
Ἰησοῦ Υἱὲ Θεοῦ, ἐλέησον μέ.

Δύναμιν ἐξ ὕψους τοὶς Ἀποστόλοις Σου ἐν Ἱερουσαλὴμ καθημένοις περιβαλλόμενος. Ἰησοῦ, καμὲ τὸν πάσης ἀγαθοποιϊας γεγυμνωμένον περιβαλοῦ τὴ ζέσει τοῦ Ἁγίου σου Πνεύματος, καὶ δὸς μοὶ μετὰ πόθου ψάλλειν Σοὶ .
Ἀλληλούϊα.

Ἐν τῷ πλήθει τοῦ ἐλέους Σου, τελώνας καὶ ἁμαρτωλοὺς καὶ ἀπίστους ἐκάλεσας, εὔσπλαχνε Ἰησοῦ. Μὴ παρίδης καμὲ νῦν τὸν ὁμοιωθέντα αὐτοίς, ἀλλ ὡς πολύτιμον μύρον πρόσδεξαι τὸν ὕμνον τοῦτον.

Ἰησοῦ Κράτος ἀνίκητον.
Ἰησοῦ Ἔλεος ἀτελεύτητον.
Ἰησοῦ Ὡραιότης ὑπέρλαμπρος.
Ἰησοῦ Ἔρως ἄφραστος.
Ἰησοῦ Υἱὲ Θεοῦ ζῶντος.
Ἰησοῦ ἐλέησον μὲ τὸν ἁμαρτωλόν.
Ἰησοῦ ἐπάκουσόν μου τοῦ συλληφθέντος ἐν ἀνομίαις.
Ἰησοῦ καθάρισον μὲ τὸν τεχθέντα ἐν ἁμαρτίαις.
Ἰησοῦ δίδαξον μὲ τὸν μωρανθέντα.
Ἰησοῦ φώτισον μὲ τὸν σκοτισθέντα.
Ἰησοῦ καθάρισον μὲ τὸν ρυπωθέντα.

Ἰησοῦ ἐπανάγαγε μὲ τὸν ἄσωτον.
Ἰησοῦ Υἱὲ Θεοῦ, ἐλέησον μέ.

Ζάλην ἔνδοθεν ἔχων λογισμῶν ἀμφιβόλων ὁ Πέτρος ἐβυθίζετο. Ἰδὼν δὲ Σὲ Ἰησοῦ ἐν σαρκὶ πεφυκότα, ἐπὶ τοὶς ὕδασι βαδίζοντα, ἐπέγνω Σὲ Θεὸν ἀληθῆ, καὶ χείρα βοηθείας δεξάμενος ἔφη.
Ἀλληλούϊα.

Ἤκουσεν ὁ τυφλὸς ἐπὶ ὁδοῦ Σὲ πορευόμενον Κύριε, καὶ ἐβόησεν, Ἰησοῦ Υἱὲ Δαβὶδ ἐλέησον μέ. Καὶ προσκαλεσάμενος αὐτὸν ἠνέωξας αὐτοῦ τοὺς ὀφθαλμούς. Διὸ φώτισον καμοὺ τοὺς νοεροὺς ὀφθαλμοὺς τῷ ἐλέει Σου, ὅπως Σοὶ κελαηδῶ τοιαυτα.

Ἰησοῦ ὁ Ποιητής των ἄνω.
Ἰησοῦ ὁ Ἐξαγοραστής των κάτω.
Ἰησοῦ Καθαιρέτα τῶν ὑποχθονίων.
Ἰησοῦ Καλλωπιστὰ πάντων τῶν κτισμάτων.
Ἰησοῦ τῆς ἐμῆς ψυχῆς παραμυθία.
Ἰησοῦ φωτισμὸς τοῦ νοός μου.
Ἰησοῦ τὸ ἀγαλλίαμα τῆς καρδιάς μου.
Ἰησοῦ ἡ ρώσις τοῦ σώματός μου.
Ἰησοῦ Σωτήρ μου, σῶσον μέ.
Ἰησοῦ τὸ Φῶς μου, φώτισον μέ.
Ἰησοῦ τυραννίδος παντοίας ἀπάλλαξον μέ.
Ἰησοῦ ρύσαι μὲ τὸν ἀνάξιον.
Ἰησοῦ Υἱὲ Θεοῦ, ἐλέησον μέ.

Θεορρήτω αἵματί Σου, καθάπερ πάλαι Ἰησοῦ, ἠξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας Τοῦ νόμου, οὕτως ἐξελοῦ ἐκ τῆς παγίδος τοῦ ὄφεως, Δὶ’ ἧς πάθει σαρκός, καὶ κέντρω ἀσωτίας, Ἐκτέρνισεν ἡμᾶς, πεδήσας τὴ φαύλη ραθυμία, Ἵνα κράζωμεν Σοί.
Ἀλληλούια.

Ἴδον παῖδες Ἑβραίων ἐν μορφῇ ἀνθρωπίνη, τὸν πλάσαντα χειρὶ τὸν ἄνθρωπον, καὶ Δεσπότην νοοῦντες Σέ, ἔσπευσαν τοὶς κλάδοις θεραπεῦσαι, τὸ Ὡσαννὰ βοῶντες. Ἡμεῖς δὲ τὸν ὕμνον προσφέρομεν Σοὶ λέγοντες.

Ἰησοῦ Θεὲ ἀληθινέ.
Ἰησοῦ Υἱὲ Δαβίδ.
Ἰησοῦ Βασιλεῦ ὑπερένδοξε.
Ἰησοῦ Ἀμνὲ πανακήρατε.
Ἰησοῦ Φύλαξ τῆς νηπιότητός μου.
Ἰησοῦ Ὁδηγὲ τῆς νεότητός μου.
Ἰησοῦ ἡ βακτηρία τοῦ γήρατός μου.
Ἰησοῦ ἡ ἐλπίς μου ἐν ὥρᾳ τοῦ θανάτου.

Ἰησοῦ ἡ μετὰ θάνατον ζωή μου.
Ἰησοῦ ἡ ἐν τῇ Κρίσει σου παραμυθία μου.
Ἰησοῦ τὴ ὥρα ἐκείνη μὴ καταισχύνης μέ.
Ἰησοῦ Υἱὲ Θεοῦ, ἐλέησον μέ.

Κηρύκων θεοφθόγγων τὰς ρήσεις ἐκπληρῶν Ἰησοῦ, ἐπὶ γῆς ὤφθης καὶ τοὶς ἀνθρῶποις συνασεστράφης, ἀπρόσιτος ὢν, καὶ τὰς ἀσθενείας ἡμῶν ἐβάστασας. Ὅθεν, τῷ μώλωπί Σου πάντες ἰαθέντες, ἔγνωμεν ψάλλειν .
Ἀλληλούια.

Λάμψας τὴ οἰκουμένη φωτισμὸν ἀληθείας τὴν πλάνην ἀπήλασας τῶν δαιμόνων τα γὰρ εἴδωλα Σωτὴρ μὴ ἐνέγκατά Σου τὴν ἰσχὺν πέπτωκε, ἡμεῖς δὲ σωτηρίας τυχόντες βοῶμεν Σοί.

Ἰησοῦ Αὐτοαλήθεια, τὴν ἀπάτην καθελὼν
Ἰησοῦ Φῶς ὑπερέχον πᾶν φῶς.
Ἰησοῦ Βασιλεῦ ὑπερβαίνων πάντας ἐν ἰσχύει
Ἰησοῦ ὁ Θεός, ὁ πιστὸς ἐν ἐλέει.
Ἰησοῦ ὁ Ἄρτος τῆς ζωῆς, ἔμπλησον μὲ τὸν πεινῶντα.
Ἰησοῦ ἡ Πηγὴ τῆς γνώσεως, πότισον μὲ τὸν διψῶντα.
Ἰησοῦ ὁ Χιτὼν εὐφροσύνης, ἔνδυσον μὲ τὸν γυμνωθέντα.
Ἰησοῦ τῆς χαρᾶς ὁ Λιμήν, καθόρμισον μὲ τὸν πλανηθέντα.
Ἰησοῦ ὁ Δοτὴρ τῶν αἰτούντων, παράσχου μοὶ συντριβὴν ἁμαρτιῶν.
Ἰησοῦ ὁ Εὑρετὴς τῶν ζητούντων, εὑρέκαμοι τὴν ψυχήν.
Ἰησοῦ ὁ τοὶς κρούουσι ἀνοίγων, ἄνοιξον τὴν πεπωρωμένην καρδίαν μου.
Ἰησοῦ Ἰατὴρ ἁμαρτωλῶν, ἀπόπλυνον τὰς ἁμαρτίας μου.
Ἰησοῦ Υἱὲ Θεοῦ, ἐλέησον μέ.

Μέλλων ἀποκαλύψαι τὸ ἀπ αἰῶνος κεκρυμμένον μυστήριον, ὡς πρόβατον ἐπὶ σφαγῆς ἤχθης, Ἰησοῦ, καὶ ὡς ἀμνὸς ἄφωνος ἐναντίον τοῦ κείροντος αὐτόν. Ἠγέρθης δὲ Θεὸς ὢν ἐκ τῶν νεκρῶν, καὶ μετὰ δόξης ἀνελθῶν εἰς οὐρανούς, συνανύψωσας ἡμᾶς βοώντας Σοί.
Ἀλληλούια.

Νέαν ἔδειξεν Κτίσιν, ἐμφανίσας ἡμὶν ὁ Κτίστης. Ἀσπόρως δ’ ἐκ Παρθένου σαρκωθεῖς καὶ ἐκ τάφου ἀναστάς, σώα τὲ φυλλάξας ἀμφοτέρων τὰ σήμαντρα, πρὸς τοὺς Ἀποστόλους τῶν θυρῶν κεκλεισμένων μετὰ σαρκὸς εἰσῆλθεν. Ὅθεν θαυμάζοντες πίστει βοῶμεν.

Ἰησοῦ Λόγε ἀχώρητε.
Ἰησοῦ Νοῦς ἀνεξιχνίαστος.
Ἰησοῦ Δύναμις ἀκατάληπτος.
Ἰησοῦ Σοφία ἀμέτρητος.

Ἰησοῦ Θεότης ἀπερίγραπτος.
Ἰησοῦ Κυριότης ἀπεριόριστος.
Ἰησοῦ Βασιλεία ἀκαταμάχητος.
Ἰησοῦ Δεσποτεία ἀτελεύτητος.
Ἰησοῦ Ἰσχὺς ὑπερκόσμιος.
Ἰησοῦ Ἐξουσία αἰώνιος.
Ἰησοῦ Ποιητά μου, ἀνακαίνισον μέ.
Ἰησοῦ Σωτήρ μου, σῶσον μέ.
Ἰησοῦ Υἱὲ Θεοῦ, ἐλέησον μέ.

Ξένην ἐνανθρώπησιν Θεοῦ ὁρῶντες, ξενωθῶμεν τοῦ ματαίου κόσμου τούτου, τὸ νοῦν εἰς τὰ θεῖα μεταθέντες. Διᾶ τοῦτο γὰρ Θεὸς ἐπὶ γῆς κατῆλθεν, ἵνα ἡμᾶς εἰς οὐρανοὺς ὑψώση τοὺς αὐτῶ κραυγάζοντας.
Ἀλληλούια.

Ὅλος ἦν ἐν τοὶς κάτω, καὶ τῶν ἄνω οὐδόλως ἀπῆν ὁ ἀκατάληπτος Λόγος. Ἔπαθεν ἐπὶ γῆς ἑκούσια βουλὴ θανάτω τὸν θάνατον ἡμῶν ἐνέκρωσε, καὶ τὴ Ἀναστάσει Αὐτοῦ ζωὴν ἐδωρήσατο ἡμὶν τοὶς ἄδουσιν Αὐτῶ τοιαυτα.

Ἰησοῦ Γλυκύτης τῆς καρδίας μου.
Ἰησοῦ Δύναμις τοῦ σώματός μου.
Ἰησοῦ Φῶς τῆς ψυχῆς μου.
Ἰησοῦ ἡ ὀξύτης τοῦ νοός μου.
Ἰησοῦ Χαρμονὴ τῆς συνειδήσεώς μου.
Ἰησοῦ Ἐλπὶς ἀνυπέρβλητος.
Ἰησοῦ Μνήμη αἰώνιος.
Ἰησοῦ Αἴνεσις ὑπερουράνιος.
Ἰησοῦ δόξα ὑπερκόσμιος.
Ἰησοῦ ἡ ἐμὴ ἐπιθυμία, μὴ ἀπορρίψης μέ.
Ἰησοῦ Ποιμήν μου, ἀναζήτησον μέ.
Ἰησοῦ Σωτήρ μου, διάσωσον μέ.
Ἰησοῦ Υἱὲ Θεοῦ, ἐλέησον μέ.

Πάσα φύσις Ἀγγέλων ἀκαταπαύστως ἐν οὐρανοὶς δοξάζει τὸ πανάγιον Ὄνομά Σου, Ἰησοῦ, τὸν τρισάγιον ὕμνον ἀναβοώσα. Ἅγιος, Ἅγιος, Ἅγιος. Ἡμεῖς δὲ οἱ ἁμαρτωλοὶ ἐπὶ γῆς, χοϊκοὶς χείλεσι ψάλλομεν.
Ἀλληλούια.

Ρήτορας πολυφθόγγους ὡς ἰχθύας ἀφώνους ὁρῶμεν ἐπὶ Σοί, Ἰησοῦ Σωτὴρ ἡμῶν. Ἀπορούσι γὰρ λέγειν το πὼς εἰ ἀναλλοίωτος Θεὸς καὶ τέλειος ἄνθρωπος. Ἡμεῖς δὲ τὸ φρικτὸν μυστήριον θαυμάζοντες, πιστῶς βοῶμεν.

Ἰησοῦ Θεὸς θεῶν.
Ἰησοῦ Βασιλεὺς βασιλευόντων.
Ἰησοῦ Κύριος κυριευόντων.
Ἰησοῦ Κριτὰ νεκρῶν καὶ ζώντων.
Ἰησοῦ Ἐλπὶς ἀπηλπισμένων.
Ἰησοῦ Παράκλησις πενθούντων.
Ἰησοῦ πεντήντων Προμήθεια.
Ἰησοῦ μὴ καταδικάσης μὲ κατὰ τὰ ἔργα μου.
Ἰησοῦ κάθαρον μὲ κατὰ τὸ ἔλεός Σου.
Ἰησοῦ διασκέδασον τὴν ἀκηδίαν μου.
Ἰησοῦ φώτισον τοὺς διαλογισμοὺς τῆς καρδίας μου.
Ἰησοῦ μνήμην θανάτου μοὶ δώρησαι.
Ἰησοῦ Υἱὲ Θεοῦ, ἐλέησον μέ.

Σῶσαι θέλων τὸν κόσμον, Ἀνατολὴ ἀνατολῶν, εἰς δύσιν ζοφώδη τῆς ἐσκοτισμένης ἡμῶν φύσεως ἐλθών, μέχρι θανάτου ἐταπείνωσας σαυτόν. Διὸ τὸ ὄνομά Σου, ὑπὲρ πᾶν ὄνομα ὑπερυψοῦται καὶ παρὰ πάσης φύσεως οὐρανίου καὶ ἐπιγείου ἀκούεις.
Ἀλληλούια.

Τείχισον ἡμᾶς ἁγίοις Σου ἀγγέλοις Χριστὲ Σωτὴρ ἡμῶν, ὁ πατὴρ τοῦ μέλλοντος αἰῶνος, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλίδος, ὥσπερ πάλαι ἐκαθάρισας τοὺς δέκα λεπρούς, καὶ ἴασαι ἡμᾶς καθάπερ ἰάσω τὴν τοῦ τελώνου Ζακχαίου φιλάργυρον ψυχήν, ὅπως κατανύξει βοῶμεν Σοί.

Ἰησοῦ Θησαυρὲ ἀσφαλέστατε.
Ἰησοῦ Πλοῦτε ἀδαπάνητε.
Ἰησοῦ Πόσις ἀνεξάντλητος.
Ἰησοῦ τῶν γυμνῶν Περιβολή.
Ἰησοῦ τῶν χηρῶν ἡ Ἀντίληψις.
Ἰησοῦ ὀρφανῶν ὁ Προστάτης.
Ἰησοῦ καταπονουμένων Ὑπέρμαχος.
Ἰησοῦ ὁδοιπόρων Συνοδίτης.
Ἰησοῦ τῶν πλεόντων Κυβερνήτης.
Ἰησοῦ Λιμὴν χειμαζομένων εὔδιος.
Ἰησοῦ ἀνάστησον μὲ παραπεσόντα.
Ἰησοῦ Υἱὲ Θεοῦ, ἐλέησον μέ.

Ὕμνον ἐν κατανύξει προσφέρω Σοὶ ὁ ἀνάξιος ἐγώ, καὶ βοῶ Σοὶ ὥσπερ ἡ Χαναναία. Ἰησοῦ ἐλέησον μέ. Οὐ θυγάτριον, ἀλλὰ σάρκα κέκτημα δαιμονώσαν δεινῶς καὶ τῷ θυμῷ φλεγομένην. Διὸ παράσχου μοὶ τὴν ἴαση βοώντι Σοί.
Ἀλληλούια.

Φωτοπάροχον φῶς, τὸ λάμψας τοὶς ἐν σκότει τῆς ἀγνωσίας, ὁ πρὶν διώκων Σὲ Παῦλος ἐλλαμφθεῖς τῷ φωτί Σου καὶ κατανοῶν τὴν δύναμιν τῆς θεοσόφου Σου φωνῆς, καταπράϋνε τὴν ὁρμὴν τῆς ἑαυτοῦ ψυχῆς. Οὕτω καμοὺ φώτισον τὰ ὄμματα τῆς ἐσκοτισμένης μου ψυχῆς, τοῦ βοῶντος τοιαύτα.

Ἰησοῦ Βασιλεῦ πανσθενέστατε.
Ἰησοῦ Θεὲ παντοδύναμε.
Ἰησοῦ Παντοκράτορ ἀθάνατε.
Ἰησοῦ Δημιουργέ μου ὑπερδόξαστε,
Ἰησοῦ Ὁδηγέ μου ἀγαθώτατε.
Ἰησοῦ Ποιμὴν εὐσπλαγχνικώτατε.
Ἰησοῦ Δέσποτα πολυέλεε.
Ἰησοῦ Σωτήρ μου φιλανθρωπότατε.
Ἰησοῦ φώτισόν μου τὰς αἰσθήσεις σκοτισθείσας τοὶς πάθεσιν.
Ἰησοῦ ἴασαι τὸ σῶμα μου λελωβημένον ταὶς ἁμαρτίαις.
Ἰησοῦ καθάρισόν μου τὸν νοῦν ἀπὸ ματαίων λογισμῶν.
Ἰησοῦ φύλαξον τὴν καρδίαν μου ἀπὸ ὀρέξεων πονηρῶν.
Ἰησοῦ Υἱὲ Θεοῦ, ἐλέησον μέ.

Χάριν χάρισαι μοὶ πάντων ὀφλημάτων χρεωλύτα Ἰησοῦ μου, καὶ δέξαι μὲ μετανοούντα ὡς ἐδέξω Πέτρον ἀρνησαμένον Σὲ ὡς ποτὲ Παῦλον προσεκαλέσω διώκοντα Σὲ καὶ ἐπάκουσόν μου ἀναβοῶντος Σοί.
Ἀλληλούια.

Ψάλλοντές Σου τὴν ἐνανθρώπησιν, ἀνυμνοῦμεν Σὲ πάντες, καὶ πιστεύομεν σῦ τῷ Θωμᾷ ὅτι Σῦ εἰ ὁ Κύριος καὶ Θεὸς ἡμῶν ὁ ἐν δεξιᾷ καθήμενος τοῦ Πατρός, καὶ μέλλων κρίναι ζῶντας καὶ νεκρούς. Ἀξίωσον οὖν τότε μὲ στῆναι ἐκ δεξιῶν Σου, τὸν νῦν ἀναβοώντα Σοί.

Ἰησοῦ ὁ τῆς εἰρήνης Βασιλεύς, εἰρήνευσον μέ.
Ἰησοῦ τὸ εὔοσμον Ἄνθος, εὐωδίασον μέ.
Ἰησοῦ ἡ ποθητὴ Θέρμη, θέρμανον μέ.
Ἰησοῦ Ναὲ προαιώνιε περίθαλψον μέ.
Ἰησοῦ ἠλιοστάλακτε Χιτών, κόσμησον μέ.
Ἰησοῦ ὁ πολύτιμος Μαργαρίτης, πλούτισον μέ.
Ἰησοῦ Λίθε τίμιε, λάμπρυνον μέ.
Ἰησοῦ Ἥλιε τῆς Δικαιοσύνης, ἔλλαμψον μέ.
Ἰησοῦ Ἅγιον φῶς, φώτισον μέ.
Ἰησοῦ νόσου ψυχῆς καὶ σώματος ἀπάλλαξον μέ.
Ἰησοῦ ἐκ τῆς χειρὸς τοῦ ἀλάστορος ἐξάρπασον μέ.

Ἰησοῦ ἐκ τῶν αἰωνίων βασάνων λύτρωσαι μέ.
Ἰησοῦ Υἱὲ Θεοῦ, ἐλέησον μέ.

Ὢ Γλυκύτατε καὶ Πανοικτίρμον Ἰησοῦ πρόσδεξαι ταύτην τὴν μικρὰν ἡμῶν δέησιν, ὡς ἐδέξω τα τῆς χήρας δυὸ λεπτά, καὶ τήρησον τὴν κληρονομίαν σου ἀπὸ ἐχθρῶν ὁρατῶν τὲ καὶ ἀοράτων, ἐπιδρομῆς ἀλλοφύλων, νόσου, λιμοῦ, πάσης θλίψεως, καὶ θανατηφόρου πληγῆς. Καὶ λύτρωσαι μελλούσης κολάσεως, τοὺς βοώντας Σοὶ Ἀλληλούια.

Ἀγγέλων ποιητὰ καὶ Κύριε τῶν Δυνάμεων, ἄνοιξον τὸν ἄπορόν μου νοῦν καὶ τὴν γλώτταν πρὸς ὕμνον τοῦ Παναχράντου Σου ὀνόματος, καθάπερ ἤνοιξας πάλαι τὴν ἀκοὴν καὶ γλώτταν τοῦ κωφοῦ καὶ μογιλάλου, τοῦ κραυγάζειν πρὸς Σὲ τοιαυτα.

Ἰησοῦ πανθαύμαστε, τῶν Ἀγγέλων ἡ Ἔκπληξις.
Ἰησοῦ γλυκύτατε, Πατριαρχῶν τὸ Καύχημα.
Ἰησοῦ ὑπερένδοξε, Βασιλέων Κραταίωμα.
Ἰησοῦ παμπόθητε, προφητῶν ἡ Ἐκπλήρωσις.
Ἰησοῦ ὑπερύμνητε, Στερέωμα τῶν Μαρτύρων.
Ἰησοῦ ἱλαρώτατε, μοναζόντων Τερπνότης.
Ἰησοῦ ὑπερεύσπλαχνε, νηστευόντων Ἐγκράτεια.
Ἰησοῦ πανοικτίρμον, Χαρὰ τῶν δικαίων.
Ἰησοῦ ὑπέραγνε, Σωφροσύνη τῶν Παρθένων.
Ἰησοῦ προαιώνιε, Σωτηρία πταιόντων.
Ἰησοῦ Υἱὲ Θεοῦ, ἐλέησον μέ.

Τῷ Ὑπερμάχῳ Στρατηγῶ τοῦ Ἅδου Νικητῆ,
Ὡς λυτρωθεῖς ἐξ αἰωνίου θανάτου,
Ἀναγράφω Σοὶ ὁ δοῦλος σου τὰ νικητήρια.
Ἀλλ’ ὡς ἔχων εὐσπλαχνίαν ἀνερμήνευτον,
Ἐκ παντοίων μὲ κινδύνων ἐλευθέρωσον,
Ἵνα κράζω Σοί,
Ἰησοῦ Υἱὲ Θεοῦ, ἐλέησον μέ.

*https://prayer.enavasi.gr/content/%CF%87%CE%B1%CE%B9%CF%81%CE%B5%CF%84%CE%B9%CF%83%CE%BC%CE%BF%CE%AF-%CE%B5%CE%B9%CF%82-%CF%84%CE%BF%CE%BD-%CE%BA%CF%8D%CF%81%CE%B9%CE%BF-%CE%B9%CE%B7%CF%83%CE%BF%CF%8D-%CF%87%CF%81%CE%B9%CF%83%CF%84%CF%8C*